Ὅταν δε ἔλθῃ εἰς τὴν ἁγίαν ὕψωσιν, ποιεῖ προσκυνήσεις γ' ἐπευχόμενος καὶ ἐκφωνεῖ· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις. κρατῶν καὶ τὸν ἀμνὸν μετὰ δύο χεῖρας, ποιῶν σταυρὸν μέσον τοῦ ἁγίου δίσκου, ἀνακουφήσας ἀπὸ τοῦ δίσκου μικρὸν, ὡς τε μὴ ὑπερβῆναι τὴν κορυφὴν τοῦ ἀστερίσκου. Μετὰ δε τὸ ὑψώσαι, μερίζει τὸν ἅγιον ἄρτον οὕτως· Μελίζεται τὸ τίμιον καὶ ἅγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας, καὶ κόπτει αὐτὸν μέσον, καὶ τίθησι τὸ ἥμυσιν ἐν τῷ δίσκῳ, τὸ δε ἕτερον κόψας εἰς β' μερίδας τίθησι τὴν μίαν μερίδαν ἄνωθεν τοῦ δίσκου, τὴν δε ἑτέραν κάτωθεν. Εἶτα λαβὼν καὶ τὸ ἕτερον ἥμυσιν κόπτει αὐτὸ μέσον καὶ τίθησι σταυροειδῶς μέσον τοῦ δίσκου ἀπὸ τοῦ πλαγίου μέρους καὶ ἀποτελεῖ σταυρὸν καὶ ἄρας τὴν ἄνωθεν μερίδα ὅπερ ἐστὶ κεφαλὴ λέγει καθ' ἑαυτὸν· Πλήρωσον δέσποτα ὁ ἅγιος τοῦτο ποτήριον, καὶ ποιήσας μετ' αὐτῆς ἄνωθεν τοῦ ποτη-

ρίου σταυρὸν λέγει· Πλήρωμα Πνεύματος ἁγίου, ἀμήν, καὶ βάλλει τὴν μερίδα ἐν τῷ ἁγίῳ ποτηρίῳ. Εἶτα εἰσφέρεται τὸ ξέον, καὶ εὐλογῶν αὐτὸ ὁ ἱερεὺς ἐν τῇ χειρὶ τοῦ κατέχοντος λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας. Καὶ αἴρει αὐτὸν καὶ βάλλει εἰς τὸ ἅγιον ποτήριον τὸ ἀρκοῦν σταυροειδῶς λέγων· Ζέσις πίστεως Πνεύματος ἁγίου, ἀμήν. Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας λόγῳ χεραννὶς συντεθημένη φύσει ὁμβροβλυστεῖς μοι ῥεῖθρον ἐξ ακηράτου νενυγμένης σου πλευρᾶς, (οδ.) ὦ Θεοῦ Λόγε, ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος. Θεορρύτῳ αἵματι κενωθέντι δέσποτα Χριστὲ ἐκ σῆς ἀχράντου πλευρᾶς καὶ ζωοποιοῦ θυσία μεν πέπαυται εἰδωλικὴ πᾶσα δε ἡ γῆ σοῦ τῆς αἰνέσεως τὴν θυσίαν φέρομεν. Καὶ ἐκ τότε λαμβάνει τὴν δεξιὰν μερίδα μετὰ τῆς δεξιᾶς χειρὸς μετὰ φόβου κρατῶν αὐτὴν ἐπὶ τοῦ μετώπου αὐτοῦ. Καὶ κύψας ἐν τῇ ἁγίᾳ τραπέζῃ λέγων· Τοῦ δείπνου σοῦ μυστικοῦ. Καὶ ἀνιστάμενος ἀσπάζεται αὐτὸ λέγων· Πιστεύω καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστὸς Υἱὸς τοῦ ἕως τελους, καὶ λέγει· Μή μοι Δέσποτα, φιλάνθρωπε, τὰ ἅγια δῶρα ταῦτα εἰς κρίμα ἢ εἰς κατάκριμα εἴη, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος καὶ εἰς ἀῤῥαβώνα τῆς μελλέσης ζωῆς καὶ βασιλείας καὶ εἰς εὐπρόσδεκτον ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ σου βήματος. τὸ εὖ... (;) εἰς τὸ. Καὶ λαμβάνει αὐτὸν. Ὅταν δε μεταλαμβάνει καὶ ἐκ τοῦ ἁγίου ποτηρίου λέγων· Τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον σῶμα καὶ αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἱερεὺς ἢ διάκονος εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον, ἀμήν. Τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος μυστικῶς ἀξιωθεὶς γενέσθαι συμέτοχος

Χριστὲ, ὁ Θεὸς, ἀνυμνῶ, εὐλογῶ, προσκυνῶ, δοξάζω καὶ μεγαλύνω τῆς σωτηρίας σου, Κύριε. Γενοίτο μοι εὐχαριστεία αὕτη εἰς χαρὰν καὶ ὑγίαν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς λύτρωσιν παντὸς διαβολικοῦ τε καὶ ἀνθρωπινοῦ παραπτώματος, καὶ εἰς βασιλείας οὐρανῶν κληρονομίαν. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν (245) *Καὶ μετὰ τὸ μεταλαβεῖν τὸν ἱερέα ἐνοῦνται πάρ' αὐτοῦ τὸ ἅγια μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας ἐν τῷ ἁγίῳ ποτηρίῳ, ἵνα μὴ ἀπολειφθῇ τί ἀπὸ τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ. Εἶτα τῆς ἁγίας λαβίδος βληθείσις ἐν τῷ ἁγίῳ ποτηρίῳ σκεπάζει αὐτὸ μετὰ τῆς ἀναφορᾶς καὶ λαμβάνει τὸ αὐτὸ ἡσύχως λέγων·* Μετὰ φώβου Θεοῦ. *Καὶ στραθεὶς πρὸς τὸν λαὸν ἐκφωνεῖ·* Προσέλθετε. *Καὶ εἰ εἰσὶ τίνες μέλλοντες μεταλαβεῖν μεταδίδωσιν αὐτοῖς, λέγων·* Εἰς ἄφεσιν ἁμαρτιῶν σου καὶ εἰς ζωὴν αἰώνιον, ἀμήν.

Εἰθούτως σφραγίξει τὸν λαὸν καὶ λέγει ἡσύχως· Σῶσον ὁ Θεὸς τὸν λαόν σου, *καὶ τίθησιν αὐτὰ ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ εἰπὼν τὴν εὐχὴν·* Εὐχαριστοῦμεν σοι, θυμιᾷ τὰ ἅγια σταυροειδῶς λέγων· Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς καὶ ἐπὶ πάσαν τὴν γὴν ἡ δόξα σου. ἀνέβη ὁ Θεὸς ἐν ἀλαλλάγμῳ, Κύριος, ἐν φωνῇ σάλπιγος, ψάλλατε τῷ Θεῷ ἡμῶν, ψάλλατε, ψάλλατε τῷ βασιλεῖ ἡμῶν, ψάλλατε. *Καὶ λαβὼν τὸ ποτήριον μετὰ τῆς δεξιᾶς χειρὸς αὐτοῦ καὶ τὸν δίσκον μετὰ τῶν καλυμμάτων ἐν τῇ χειρὶ τῇ ἑτέρᾳ τῇ ἀριστερᾷ μετὰ τοῦ θυμιατοῦ, καὶ λέγει καθ' ἑαυτὸν·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. *Εἶτα ἐκφωνεῖ·* Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς. Ὁ λαὸς· Πληρωθήτω τὸ στόμα, *καὶ ἐναποτίθενται τὰ ἅγια δῶρα ἐν τῇ προθέσει. Καὶ στραθεὶς ἐνώπιον τῆς ἁγίας τραπέζης, διπλώσας τὸ εἰλιτὸν λέγει·* Ὀρθοὶ μεταλαβόντες θείων ἁγίων *καὶ τὰ λοιπὰ, καὶ τίθησι τὸ εὐαγγέλιον ἐπάνω τοῦ εἰλιτοῦ λέγων·* Ἐν εἰρήνη προέλθωμεν. Τοῦ Κυρίου δεηθῶμεν, *καὶ ἐξέρχεται*

καὶ λέγει τὴν ὁπισθάμβωνον εὐχὴν. Καὶ πληρώσας αὐτὴν, ἄρχεται ὁ λαὸς· Εἴη τὸ ὄνομα Κυρίου γ' καὶ τὸ, Εὐλογήσω τὸν Κύριον. Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ἐν τῇ προθέσει· Τὸ πλήρωμα τοῦ νόμου. Εἶτα ἐξέρχεται καὶ δίδει τὸ κατάκλαστον. Καὶ πληρωθέντου τοῦ ψαλμοῦ εὐλογεῖ τὸν λαὸν λέγων· Εὐλογία τοῦ Κυρίου ἐφ' ἡμᾶς. Καὶ ἐάν ὦσι κόλυβα ἁγίου τινὸς, ψάλλουσι τὸ τοῦ ἁγίου ἀπολιτίκιον, δόξα· τὸ κοντάκιον, καὶ νῦν· θεοτόκιον. Ὁ δε ἱερεὺς (σϐ.) λαβὼν τὸν θυμιατὸν θυμιᾷ τὰς εἰκόνας τῶν ἁγίων καὶ τοὺς ἀδελφοὺς, καὶ ἄνωθεν τῶν κολύβων λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαός τὸ, Κύριε ἐλέησον, καὶ ὁ ἱερεὺς τὴν εὐχὴν· Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου Κύριε... Καὶ ἁγιάζων τὰ σύμπαντα Χριστὲ ὁ Θεὸς καὶ σοι τὴν δόξαν ἀναπέμπομεν.. αἰώνων. Καὶ ποιεῖ ἀπόλυσιν· Δόξα σοι Χριστὲ ὁ Θεὸς ἡμῶν. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν. Εἶτα εἰσέρχεται καὶ κλύει καὶ συστέλλει τὰ ἅγια μετὰ νίψεως πάσης καὶ προσοχῆς, δευτέρας μετὰ οἴνου, καὶ ἅπαξ ὕδατος. (246) Εἰθούτως λέγει· Τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος σοῦ μυστικῶς ἀξιωθεὶς γενέσθαι συμμέτοχως εὐχαριστῶ, ἀνυμνῶ, προσκυνῶ, καὶ μεγαλύνω τὰ σωτηρία σοῦ Κύριε, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀπονίπτεται τὰς χεῖρας λέγων. Νῦν ἀπολύει. Τρισάγιον, τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ θεοτόκιον αποδύεται [1]) καὶ οὕτως λαμβάνει πέρας ἡ θεία λειτουργία.

---

[1]) Ρκπ. ἐκδιδάσκεται.

V.

Уставъ литургіи XV в.

по рукописи Ватиканской библіотеки.

Уставъ этотъ найденъ нами въ одномъ изъ Сборниковъ Ватиканской библіотеки, № 573. Сборникъ этотъ, 360 л. въ 8-ю д., писанъ разными руками XIV—XVI в. мелкимъ полууставомъ, переходящимъ въ скоропись и содержитъ въ себѣ разныя статьи, и между прочимъ нѣсколько литургическихъ. Указанія на этотъ сборникъ и въ частности на его литургическія статьи были сдѣланы нами въ книгѣ: „Свѣдѣнія о нѣкоторыхъ литургическихъ рукописяхъ Ватиканской библіотеки", стр. 64—67. Важнѣйшая изъ литургическихъ статей, содержащихся въ сборникѣ, есть уставъ литургіи безъ заглавія, помѣщенный на лл. 63—71. Во время печатанія упомянутой нашей книги мы не имѣли полной копіи этого устава и вынуждены были ограничиться только общими замѣчаніями и небольшими выдержками. Теперь мы имѣемъ въ своемъ распоряженіи полную копію, сдѣланную профессоромъ Сторнойоло, и печатаемъ ее цѣликомъ. Тѣ листы, на которыхъ помѣщенъ уставъ, по мнѣнію Сторнойоло, могутъ быть отнесены

къ XIV—XV в. Уставъ этотъ весьма обширенъ и связенъ и едвали могъ явиться ранѣе XV в. Отъ устава Филоѳея онъ вполнѣ независимъ и употреблялся вѣроятно въ такой мѣстности, куда вліяніе Филоѳеева устава въ XV в. еще не проникало.

ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ.

Ὅταν μέλλωσι τῷ ἁγίῳ παρίστασθαι βήματι τοῦ τὴν ἀναίμακτον θυσίαν ἐκτελέσαι, ὀφείλουσι μετανοίας ποιεῖν γ' ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου, καὶ καθ' ἑαυτοὺς ὧδεν ἡσύχως τὴν εὐχὴν ταύτην.

Κύριε, ὁ Θεός μου, ἐξαπόστειλόν μοι βοήθειαν ἐξ ἁγίου σου κατοικητηρίου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκαταχρίτως παραστῶ τῷ φοβερῷ βήματι σου τὴν ἀναίμακτον ἱερουργίαν ἐκτελέσαι. Ὅτι σὸν τὸ κράτος... Εἶτα ἀσπάξεσθαι τὰς ἁγίας εἰκόνας καὶ εἰσέρχεσθαι ἔνδον τοῦ θυσιαστηρίου ἐν ᾧ τὰς ἱερὰς ἐιώθασιν ἐνδύεσθαι στολάς. ἐν ᾧ εἰσελθόντες, λαμβάνει εὐθὺς ὁ διάκονος τὸ μὲν ὡράριον ἐν τῇ δεξιᾷ χειρὶ, τὸ δὲ στοιχάριον ἐν τῇ λαιᾷ καὶ ἔρχεται πρὸς τὸν ἱερέα, καὶ φησὶν· Εὐλόγισον δέσποτα τὸν ἐνδυσόμενον· Ὁ δὲ σφραγίζων αὐτὸν λέγει· Εὐλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν. Ὁ δὲ διάκονος εἰπὼν τὸ, Ἀμήν, καὶ τὸ, Εἰς πολλὰ ἔτη πρὸς αὐτὸν καὶ προσκυνήσας ἐκ γ' ἐνδύεται ταῦτα λέγων καθ' ἑαυτὸν καὶ τὴν εὐχὴν ταύτην· Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἔπειδε ἐπ' ἐμοὶ τῷ ἁμαρτολῷ καὶ ἀναξίῳ δούλῳ σου, καὶ στολὴν περιβαλλόμενόν με τὴν ἱερὰν ταύτην, ἐνίσχυσον τῇ ἁγίᾳ

[1]) Заглавія въ ркп. нѣтъ.

σου χάριτι, τοῦ ἀδιακρίτως παραστῆναι τῇ ἱερᾷ σου ταύτῃ τραπέζῃ, καὶ προσενέγκαι σοι τὴν ἀναίμακτον θυσίαν. Ὅτι πρέπει σοι πᾶσα δόξα σὺν τῷ. Καὶ ἐνδυσάμενος ταύτην ἔρχεται ἐν τῇ ἁγίᾳ προθέσει, κἀκεῖ νίπτων τὰς χεῖρας, λέγει· Νίψωμαι ἐν ἀθῴοις τὰς χεῖράς μου. Εἶτα εὐτρεπίζει τὰ εἰς ὑποδοχὴν τῶν ἁγίων δώρων τίμια σκεύη. Ὁ δὲ ἱερεὺς λαβὼν καὶ αὐτὸς τὸ στοιχάριον αὐτοῦ ἐν τῇ λαιᾷ χειρὶ, καὶ προσκυνήσας τρεῖς σφραγίζει αὐτὸ λέγων ἡσύχως· Εὐλογητὸς ὁ Θεὸς· Καὶ ἐνδυόμενος τοῦτο λέγει· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με. ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. Εἶτα καὶ τὸ ἐπιτραχήλιον λέγων Εὐλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τοῦ ἐνδύματος αὐτοῦ. Εἶτα λαβὼν τὴν ζώνην λέγει· Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν. Καὶ εὐθὺς λαβὼν τὸ δεξιὸν ἐπιμάνικον λέγει· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. Ἐν δὲ τῷ ἀριστερῷ λέγει· Αἱ χεῖρες σου ἐποίησάν με. Εἶτα λαβὼν τὸν φαινόλην καὶ σφραγίας αὐτὸν ἐνδυόμενος λέγει· Οἱ ἱερεῖς σου Κύριε. Εἶθ' οὕτως ἐλθὼν ἐν τῇ ἁγίᾳ προθέσει καὶ ἀνὰ χεῖρας λαβὼν τὴν προσφορὰν καὶ τὴν ἁγίαν λόγχην, βλέπων κατ' ἀνατολὰς εὔχεται καθ' ἑαυτὸν μετὰ τοῦ διακόνου ὑπὲρ τοῦ εὐοδωθῆναι αὐτὰ ἀμέμπτως ἐκτελέσαι τὴν θείαν μυσταγωγίαν λέγοντος οὕτως· Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, δὸς ἡμῖν προθυμίαν καὶ ἰσχὺν τοῦ ἐκτελέσαι τὴν θείαν ἱερουργίαν, καὶ ταύτην· Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς, ἀξίωσόν με ἱερατεύειν σοι ἀνενόχως καὶ ἀκαταχρίτως πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Εἶτα καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ λέγουσιν οὕτως· Φείσαι, Κύριε, τοῦ λαοῦ αὐτοῦ καὶ μηδῶς τὴν κληρονομίαν

σου εἰς ὄνιδος σοῦ καταῤῥαι αὐτῶν ἐθνη. ὅπως μὴ εἴπωσιν ἐν αὐτοῖς ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν. Τοῦ δὲ ἱερεως τὴν ἁγίαν ποιούντος προσκομιδὴν ἵσταται ὁ διάκονος προσέχων αὐτῷ μετ' εὐλαβείας ὁτιπο.... τοῦ δε ἱερέως ἐν τῇ δεξιᾷ χειρεὶ τὴν λόγχην κρατήσαντος, τὴν δὲ προσφορὰν ἐν τῇ ἀριστερᾷ, λέγει ὁ διάκονος· Εὐλόγησον δέσποτα. Ὁ δὲ λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε. Σφραγίξων τὴν προσφορὰν σταυροειδῶς τρίτον μετὰ τὴν ἁγίαν λόγχην καὶ μικρὸν ὑποτεμὼν ἐν μὲν τῷ πρώτῳ μέρει λέγει· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Ἐν δὲ τῷ δευτέρῳ· Καὶ ὡς ἄμνος· Ἐν δὲ τῷ τρίτῳ· Οὕτως οὐκ ἀνοίγει. Ἐν δὲ τῷ τετάρτῳ· Καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Καὶ πήξας τὴν ἁγίαν λόγχην ἐκ πλαγίου, λέγει· Τὴν δὲ γενεὰν αὐτοῦ τις διηγήσεται. Εἶθ' οὕτως αἴρων τὸ σφραγισθὲν ἅγιον σῶμα ἀπὸ τῆς προσφορᾶς λεγει· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Καὶ θεὶς τὸ τοιοῦτον ἅγιον σῶμα ὑπτίον ἐν τῷ ἁγίῳ δίσκῳ λέγει ὁ διάκονος· Θύσον δέσποτα τὸν ἀμνὸν. Ὁ δὲ χαράττων αὐτὸν εἰς βάθος θύει σταυροειδῶς λέγων· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ. Ὁ διάκονος· Ἀμήν. Εἶθ' οὕτω τίθῃ τὸν ἅγιον ἄρτον πρηνῆ· ἢ τὴν σφραγίδα ἐπάνω· καὶ νύστει αὐτὸν μετὰ τῆς ἁγίας λόγχης ἐν τῷ δεξιῷ μέρει τῆς πλευρᾶς λέγει· Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν. Ὁ δὲ διάκονος λαβὼν τὸ μὲν νᾶμα ἐν τῇ δεξιᾷ χειρεὶ, τὸ δὲ ὕδωρ ἐν τῇ εὐωνύμῳ λέγει πρὸς τὸν ἱερέα· Εὐλόγησον δέσποτα τὸ νᾶμα καὶ τὸ ὕδωρ. Ὁ δὲ εὐλογεῖ αὐτὰ καὶ ὅς ἐπιχέεις ἄμφω ἐν τῷ ἁγίῳ ποτηρίῳ ὅσον χρὴ λέγων· Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, καὶ ὁ ἑωρακώς μεμαρτύρηκεν, σρεῖς εἰσὶν οἱ μαρτυροῦντες.

Ἔπειτα ποιεῖ τῶν ἑτέρων προσφορῶν τὴν προσκομιδὴν. Καὶ εἰς μὲν τὴν β' πήξας τὴν λόγχην καὶ μικρὸν ἐκβαλὼν λέγει· Λέξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς δόξαν καὶ τιμὴν τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου.

Εἰ δέ γε ἑορτάξεται ἰδικὴν ὀφείλει ποιεῖν προσφοράν οὕτως· Δέξαι, Κύριε, τὴν θυσίαν ταύτην τῇ πρεσβείᾳ τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας εἰς ἱλασμὸν τοῦ δε τοῦ προσενέγκαντος καὶ μνήσθητι ἐξ ὧν αὕτη προσηνέχθη.

Εἰς δὲ τὴν τρίτην· Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῇ πρεσβείᾳ τῶν τιμίων ταξιαρχῶν Μιχαὴλ, Γαβριὴλ, Οὐριὴλ, καὶ Ῥαφαὴλ, τοῦ ἐμοῦ φύλακος ἁγίου ἀγγέλου, καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων, τοῦ τιμίου προφήτου, προδρόμου καὶ βαπτίστου Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων πατέρων ἡμῶν καὶ μεγάλων ἱεραρχῶν Βασιλείου, Γρηγορίου, Ἰωάννου, Ἀθανασίου, Νικολάου τοῦ μυροβλύτου, Κυρίλλου καὶ Σπυρίδωνος τῶν θαυματουργῶν, τῶν ἁγίων καὶ θεσπεσίων προφητῶν Ἀβραὰμ, Ἰσαὰκ, Ἰακὼβ, Μωυσέως καὶ Ἀαρὼν, τῶν ἁγίων καὶ δικαίων Ἰωακεὶμ καὶ Ἄννης, τῶν ὁσίων πατέρων ἡμῶν Ἀντωνίου, Παχωμίου, Εὐθυμίου, Σάββα, Κοσμᾶ Ἰωάννου, Θεοδόρου καὶ Θεοφάνους, τῶν γραπτῶν Ῥωμανοῦ, Ἰωσὴφ καὶ Ἀνδρέου, τῶν ἁγίων μαρτύρων Στεφάνου, Γεωργίου, Δημητρίου, Θεοδώρων, Μερκουρίου, Προκοπίου, Ἀρτεμίου, Νικήτα, τῶν ἁγίων μαρτύρων μ', τῶν ἁγίων βασιλέων καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης, τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψῶν καὶ Διομίδους, τῶν ἁγίων ἐνδόξων προπατόρων, πατέρων πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, ἱεραρχῶν, μαρτύρων, καὶ ὁσίων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου, τοῦ

ἁγίου τῆς μονῆς, τοῦ κατὰ τὴν ἡμέραν, οὗ καὶ τὴν μνήμην, καὶ πάντων σου τῶν ἁγίων, εἰς σκέπη καὶ στερέωμα τοῦ ἁγίου οἴκου τούτου, εἰς εἰρήνην καὶ κατάστασιν του σύμπαντος κόσμου, εἰς εὐσταθείαν τῶν ἁγίων ἐκκλησιῶν, εἰς εὐκρασίαν ἀέρων, εἰς εὐφορίαν τῶν καρπῶν τῆς γῆς, εἰς καιρὸν εἰρήνης, εἰς ἱλασμὸν τῶν δούλων σου, τῶν δε, καὶ τῶν κτητόρων, καὶ ὅπερ ἂν καὶ δι᾽ ὧν καὶ ἐφ᾽ οἷς προσήγαγον, καὶ συγχώρησον αὐτοῖς καὶ ἡμῖν, πᾶν πλημέλημα ἑκούσιον καὶ ἀκούσιον, καὶ ἀνάπαυσον αὐτούς. Ὅπου ἰδίως εἰ ἑορτάζεται ἅγιος, λέγεις οὕτως· Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην τῇ πρεσβείᾳ, τοῦ δε, τοῦ ἁγίου εἰς ἱλασμὸν, τοῦ δεῖνος, σοῦ προσενέγκαντος. Ὁμοίως καὶ ὑπὲρ τινος ξῶντος λέγει· Δέξαι, Κύριε, τὴν, θυσίαν ταύτην εἰς ἱλασμὸν, τοῦ δεῖνος, σοῦ προσενέγκαντος, καὶ ἐλέησον αὐτὸν κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου Εἰς δε τελευτήσαντα τίνα· Δέξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς ἱλασμὸν, τοῦ δε, καὶ ἀνάπαυσον.

Εἰς δὲ τὴν δ᾽—ην· Δέξαι, Κύριε, τὴν θυσίαν ταύτην, εἰς ἱλασμὸν τοῦ ἀρχιεπισκόπου, παντὸς τοῦ κλήρου, εἰς ἱλασμὸν πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, εἰς ἱλασμὸν τῶν εὐσεβεστάτων, παντὸς τοῦ παλατίου, τοῦ ἡγουμένου, τῆς ἀδελφότητος, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, τῶν μισούντων καὶ ἀγαπώντων, καὶ ἐλεούντων, καὶ διακονούντων ἡμῖν, τῶν ἐντειλαμένων ἡμῖν, τῶν κατὰ σάρκα γονέων καὶ ἀδελφῶν ἡμῶν, προπατόρων πνευματικῶν πατέρων καὶ ἀδελφῶν, πάππων, συγγενῶν καὶ φύλων, εἰς ἱλασμὸν πάσης ψυχῆς Χριστιανῶν θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας

παρὰ σοῦ ἐπιδεομένης, εἰς ἱλασμὸν πάντων τῶν κοπιώντων καὶ διακονούντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ, πατέρων καὶ ἀδελφῶν, εἰς ἱλασμὸν τῶν ἐν ἀσθενείᾳ κατακειμένων, εἰς ἱλασμὸν τῶν ἀδελφῶν ἡμῶν τῶν πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, εἰς ἱλασμὸν τῶν κοπιώντων, ψαλλόντων, καὶ καλλιεργούντων, τῶν καρποφορούντων καὶ κατοικούντων ἐν τῷ ἁγίῳ ναῷ σου τούτῳ, εἰς ἱλασμὸν τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, εἰς ἱλασμὸν πάντων καὶ πασῶν, τῶν καταπεπονημένων καὶ βεβαρημένων ταῖς ἀνομίαις, καὶ ταῖς πολλαῖς ἁμαρτίαις, εἰς ἱλασμὸν πάντων Χριστιανῶν ὀρθοδόξων, εἰς ἱλασμὸν τῆς ἐμῆς ἀναξιότητος, καὶ συγχώρησον αὐτοῖς καὶ ἡμῖν, πᾶν πλημέλημα ἑκούσιόν τε.

Εἰς δὲ τὴν ε' Πρόσδεξαι, Κύριε, καὶ ταύτην τὴν θυσίαν εἰς ἱλασμὸν πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, προπατόρων, πατέρων καὶ ἀδελφῶν, τῶν ἐνθάδε κειμένων, εἰς ἱλασμὸν τῶν κατὰ σάρκα γονέων καὶ ἀδελφῶν ἡμῶν, καὶ πάντων τῶν τέκνων καὶ ἐγγόνων αὐτῶν, εἰς ἱλασμὸν τῶν πνευματικῶν πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν δε, εἰς ἱλασμὸν τῶν συγγενῶν τε πάντων καὶ φύλων ἡμῶν, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, καὶ ἐλέησον αὐτοὺς καὶ ἐμὲ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Μετὰ δὲ τὴν ε'-ην προσφορὰν, ἐὰν ὦσι καὶ ἕτεραι, διὰ τὸ μὴ ἐπιγινώσκειν τὸν ἱερέα ἐν τῇ ὥρᾳ τῆς προσκομιδῆς, μίαν ἑκάστην προσφορὰν, ὀφείλει λαμβάνειν ἐξ αὐτῶν καὶ λέγειν· Πρόσδεξαι, Κύ-

ριε, καὶ ταύτην τὴν θυσίαν εἰς ἱλασμὸν τῶν δούλων σου τῶν προσενεγκάντων. καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν. καὶ ἐφ' οἷς πρὸς σέ. εἰς ἱλασμὸν ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν, ἢ νίθην. ✻ πλῆθος ὀνομάτων. καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

Ὀφείλ' καὶ ὁ διάκονος ὑπερ ὧν βούλυται προσφορᾶς προσκομίζειν. Εἶθ' οὕτως λαμβάνει τὸν θυμιατὸν ἐν τῇ ἀριστερᾷ χειρὶ, ὡσαύτως καὶ θυμίαμα ἐν τῇ δεξιᾷ χειρὶ καὶ πρὸς τὸν ἱερέα εἰπεῖν· Εὐλόγησον δέσποτα τὴν εὐχὴν τοῦ θυμιάματος. καὶ ὁ ἱερεὺς εὐλογητὸς λέγει· Θυμίαμά σοι προσφέρομεν Χριστὲ, ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας, ὁ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου αὐτοῦ Πνεύματος, πάντοτε. Καὶ τοῦ διακόνου κρατοῦντος τὸν θυμιατὸν, εἰπόντος καὶ· Τοῦ Κυρίου δεηθῶμεν, θυμιῶν ὁ ἱερεὺς τὸν ἀστερίσκον, τίθησιν ἐπάνω τοῦ ἁγίου ἄρτου λέγων· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. καὶ ἰδοὺ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. Ὡσαύτως καὶ τὰ ποτηροκαλύμματα θυμιῶν, τοῦ διακόνου λεγοντος· Τοῦ Κυριου δεηθῶμεν, καλύπτει. Ἐν μὲν τῷ ἑνὶ τὸν δίσκον λέγων· Ὁ Κύριος ἐβασίλευσεν, ἐως τέλους· Ἐν δὲ τῷ ἑτέρῳ τοῦ διακόνου λέγοντος. Τοῦ Κυρίου δεηθῶμεν, τὸ ποτήριον λέγει· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ. Ἐν δὲ τῷ ἑτέρῳ ὁ δὴ καὶ ἀέρα καλῆν εἰώθαμεν, ὀφ' οὗ καὶ τὰ ἕτερα καλύπτονται, τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν. λέγει· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σὲ καὶ τῷ βραχίονί σου τῷ ὑψυλῷ, πάντοτε. Καὶ αὖθις ὁ διάκονος· Ἐπὶ τῇ ἁγίᾳ προθέσει τῶν τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.' Ὁ δὲ ἱερευς λέγει τὴν εὐχὴν τῆς προθέσεως·

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν. Τελεσθείσης δὲ τῆς εὐχῆς καὶ τούτου μεθισταμένου, θυμιᾷ ἅγια ὁ διάκονος σταυροειδῶς· κἀκεῖθεν ἄπεισιν εἰς τὴν ἁγίαν τράπεζαν, καὶ θυμιᾷ καὶ αὐτὴν κύκλωθεν σταυρωειδῶς, ὡσαύτως καὶ ὅλον τὸ ἅγιον θυσιαστήριον· καὶ διὰ τοῦ βορίου κλητῆς ἐξερχόμενος, ψάλλων καὶ καθ' ἑαυτὸν τὸν ν' διέρχεται θυμιᾷ κύκλωθεν τὸν ναόν, καὶ τοὺς ἱσταμένους ἀδελφοὺς καὶ κατὰ τάξιν, καὶ αὖθις ἐξέρχεται διὰ τοῦ μέρους οὗ ἐξελήλυθε, καὶ ποιήσας σταυρὸν μετὰ τοῦ θυμιατοῦ ἐν τῇ προθέσει ἄνωθεν τῶν ἁγίων, ὡσαύτως καὶ ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ θυμιάσας τὸν ἱερέα, κρεμᾷ τὸν θυμιατὸν εἰς τὸν συνήθη τόπον αὐτοῦ. Ὁ δὲ ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν τῶν ὡρῶν.

Ὁ γοῦν διάκονος ἔρχεται πρὸς τὸν ἱερέα· καὶ στάντες ἀμφότεροι ἔμπροσθεν τῆς ἁγίας τραπέζης ποιοῦσι προσκυνήσεις γ', καὶ ὡς εἰκὸς καθ' ἑαυτοὺς προσευξάμενοι ἀσπάζονται ὁ μὲν ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, ὁ διάκονος τὸ ὡράριον αὐτοῦ, ἔνθα ἐστι τετυπόμενος σταυρὸς καὶ τὸ δέξιον πτερύγιον τῆς ἁγίας τραπέζης καὶ αὖθις προσκυνοῦσι. Εἶθ' οὕτως κλίνας τὸν ἑαυτοῦ αὐχένα ὁ διάκονος καὶ τὸ ὡράριον αὐτοῦ τοῖς δυσὶ δακτύλοις κρατῶν τῆς δεξιᾶς χειρὸς, προσέρχεται τῷ ἱερεῖ, καὶ φησὶ· *Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ εὐχήν, δέσποτα εὐλόγησον.* Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν λέγει· *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν.* Ὁ διάκονος εἰπὼν τὸ, *Ἀμήν*, αὖθις φησίν· *Εὔξαι ὑπὲρ ἐμοῦ δέσποτα ἅγιε.* Ὁ δὲ ἱερεὺς εὐχόμενος αὐτῷ λέγει. *Κατευοδῶσαι Κύριος, ὁ Θεὸς, τὰ διαβήματά σου.* Ὁ δὲ διάκονος εἰπὼν τὸ, *Ἀμήν*, πάλιν φησὶν· *Μνήσθητι ὑπὲρ ἐμοῦ δέσποτα.* Ὁ ἱερεύς· *Μνησθήει ὑμῶν ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ.* Ὁ δὲ διάκονος εἰπὼν τὸ, *Ἀμήν*, καὶ· *Εἰς πολλὰ ἔτη δέσποτα*, προσκυνήσας αὐτὸν ἐξέρχεται ἀπὸ τοῦ νότου εὐθὺς μέρους, καὶ ἵσταται κατενώπιον τῶν ἁγίων θυρῶν, καὶ μετὰ τὸ δοξάσας καὶ εἰπεῖν τὴν εὐχὴν τὸν ἱερέα, καὶ προσκυνῆσαι καὶ εἰπεῖν ἡσύχως τὸ, *Κύριε, τὰ χείλη μου ἀνοίξοις τρίτον*, ἐκφωνεῖ μεγάλῃ τῇ φωνῇ· *Εὐλόγησον δέσποτα.* Καὶ ὁ ἱερεύς· *Εὐλογημένη ἡ βασι-*

λεια· Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν· Ὑπὲρ τῆς ἄνωθ· Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος, Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου· Ὑπὲρ τοῦ ἀρχιεπισκόπου Ὑπὲρ τῶν εὐσεβεστάτων. Ὑπὲρ τοῦ συμπολεμῆσαι· Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας· Ὑπὲρ εὐκρασίας ἀέρων, Ὑπὲρ πλεόντων ὁδοιπορούντων, Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας. Ὁ ἱερεύς. Ὅτι πρέπει σοι πᾶσα. Ὁ διάκονος στίχ. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Ταῖς προσβείαις. Στίχ. Τοῦ ἀναγγέλειν· Ταῖς προσβείαις. Στίχ. Δόξα καὶ νῦν· Ταῖς προσβείαις. Ὁ διάκονος· Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου. Ἀντιλαβοῦ σῶσον. Τῆς παναγίας. Ὁ ἱερεύς· Ὅτι σὸν τὸ κράτος· Καὶ ψάλλεται τὸ β' ἀντίφωνον. Ὁ διάκονος στίχ. Ὁ Κύριος ἐβασίλευσεν. Προσβείαις τῶν ἁγίων· Στίχ· Καὶ γὰρ ἐστερέωσε. Προσβείαις τῶν ἁγίων. Δόξα καὶ νῦν· Ὁ μονογενής· Ὁ διάκονος· Ἔτι καὶ ἔτι ἐν. Ἀντιλαβοῦ. Τῆς παναγίας, ἀχράντου· Ὁ ἱερεύς· Ὅτι ἀγαθὸς. Καὶ ψάλλεται τὸ τρίτον ἀντίφωνον. Ὁ διάκονος στίχ. Δεῦτε ἀγαλλιασώμεθα. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ. Στιχ· Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ. Σῶσον ἡμᾶς Τούτου δὲ ψαλλομένου, εἰσέρχεται ὁ διάκονος εἰς τὸ ἅγιον βῆμα καὶ προσκυνοῦσιν ἀμφότεροι ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ αἴρει τὸ ἅγιον εὐαγγέλιον ὁ ἱερεὺς ἐξ αὐτῆς, καὶ ἐπιδίδωσι τῷ διακόνῳ, ἢ καὶ αὐτὸς ὁ διάκονος αἴρει αὐτό· καὶ ἀπέρχονται ἐπὶ τὸ εἰσοδεῦσαι, προπορευομένου δῆ τοῦ διακόνου Ὅτε ἀπὸ τῆς προθέσεως ἐξέρχεται λέγει τῷ ἱερεῖ ὁ διάκονος· Εὐλόγησον δέσποτα τὴν ἁγίαν πρόθεσιν. Ὁ δὲ εὐλογῶν ταύτην λέγει· Εὐλογημένη ἡ ἁγία πρόθεσις, πάντοτε. Καὶ ἐν τῷ ἐλθεῖν αὐτοὺς εἰς τὸν συνήθη τόπον, ἢ ὀπίσω τοῦ ἄμβωνος, καὶ σταθῆναι, λέγει ὁ διάκονος πρασίᾳ τῇ φωνῇ· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τῆς εἰσόδου. Καὶ με-

τὰ τὸ πληρῶσαι ταύτην λέγει ὁ διάκονος τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὡράριον τοῖς δυσὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς· Εὐλόγησον δέσποτα σαυτὴν ἁγίαν εἴσοδον. Ὁ ἱερεὺς ἔχων τὴν χεῖρα ἔνδον τοῦ φενωλίου, εὐλογεῖ τὴν εἴσοδον, λέγων· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου Κύριε, πάντοτε. Καὶ τοῦ διακόνου εἰπόντος τὸ, Ἀμήν, προσάγει τῷ ἱερεῖ τὸ εὐαγγέλιον, καὶ ἀσπάζεται τοῦτο, μὴ ἐνδημοῦντος δὴ τοῦ ἡγουμένου. Εἶτα σταθεὶς ἔμπροσθεν αὐτοῦ ὁ διάκονος βλέπων ὡς πρὸς τὸ ἅγιον βῆμα, αἴρει εἰς ὕψος τὸ ἅγιον εὐαγγέλιον, οὐ μέντοι χαράττων ἐν σχήματι σταυρὸν. καὶ ἐκφωνεῖ λέγων· Σοφία· ὀρθοί, καὶ ἄρχονται τῆς εἰσόδου, λέγοντος τοῦ διακόνου πρὸς τὸν ἱερέα· Εἰς πολλὰ ἔτη δέσποτα, Ὁ ἱερεύς· Ἅμα τῇ αἰωνίᾳ ζωῇ ἡμῶν· Ὁ λαός· Δεῦτε προσκυνήσωμεν· Καὶ μετὰ τὸ εἰσελθεῖν αὐτοὺς ἐν τῷ βήματι, τίθησιν ὁ διάκονος τὸ ἅγιον εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ τῶν τροπαρίων ψαλλομένων ἐν τε εἴπουν τὸ, Δόξα καὶ νῦν, καὶ ἄρξασθαι τὸ θεοτόκιον, κρατῶν ὁ διάκονος τοῖς δύσι δακτύλοις τῆς δεξιᾶς χειρος τὸ ὡράριον αὐτοῦ, καὶ κεκυφὼς λέγει μυστικῶς τῷ ἱερεῖ· Εὐλόγησον δέσποτα τὸν γ'-ἅγιον ὕμνον· Ὁ δὲ σφραγίζων αὐτὸν δηλονότι τὸν διάκονον λέγει· Εὐλογητὸς εἶ ὁ ἐν τρισαγίῳ φωνῇ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος καὶ ὑπὸ τῶν σεραφὶμ δοξαζόμενος, πάντοτε. Καὶ μετὰ τὸ πληρωθῆναι τὸ θεοτόκιον σταθεὶς ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν, κρατῶν καὶ τὸ ὡράριον τοῖς δύσι δακτύλοις τῆς δεξιᾶς χειρὸς, δείκνυσι τοῦτο τοῖς ἔξω, λέγων· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Τοῦ δὲ λαοῦ ψάλλοντος τὸν γ'-ἅγιον ὕμνον, ἵσταται ὁ διάκονος πλησίον τοῦ ἱερέως λέγων. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ λέγει τὴν εὐχὴν τοῦ τρισαγίου. Μετὰ δέ τὸ πληρωθῆναι ταύτην, καὶ εἰπεῖν τὰς ἔξωθεν ψάλλοντας τὸ, Δόξα καὶ νῦν, προσκυνοῦσιν ἄμφοτεροι ἔμπροσθεν τῆς ἁγίας τραπέζης ἐκ τρίτου ἡσύχως, πῶς καὶ προείρ... τὸν αὐτὸν ἄδοντες ὕμνον ἅπαξ· Τοῦ δὲ πληρωθέντος, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα, κρατῶν καὶ τὸ ὡράριον δύσι δακτύ-

λοις· *Εὐλόγησον δέσποτα. Καὶ ὁ ἱερεὺς λέγει· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Θεὸς Κύριος. Καὶ ἀπέρχονται ἄμφω εἰς τὴν ἁγίαν καθέδραν κακοῖσε λέγει ὁ διάκονος, δεικνύων αὐτὴν μετὰ τοῦ ὡραρίου. Εὐλόγησον τὴν τιμίαν καὶ ἁγίαν καθέδραν· Ὁ ἱερεὺς εὐλογῶν ταύτην λέγει· Εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ θρόνου δόξης. καὶ μετὰ τὴν πλήρωσιν τοῦ τρισαγίου· ἐκφωνεῖ ὁ διάκονος· Πρόσχωμεν· Ὁ ἱερεὺς· Εἰρήνη πᾶσι· Εἶτα καθεσθέντος τούτου ὁ διάκονος· Σοφία. Ὁ ψάλτης· Ψαλμὸς τῷ Δαβὶδ. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ψάλτης τὸ, Προκείμενον. Ὁ διάκονος, Σοφία Ὁ ψάλτης τὸ προφώνημα τοῦ ἀποστόλου. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ἀναγινωσκομένου τοῦ ἀποστόλου αἴρει ὁ διάκονος τὸ θυμιατὸν καὶ θυμίαμα καὶ ἀπέρχεται πρὸς τὸν ἱερέα, καὶ φησὶν· Εὐλόγησον δέσποτα τὴν εὐχὴν τοῦ θυμιάματος· Ὁ δὲ τοῦτον εὐλογῶν, λέγει καὶ τὴν εὐχήν. Εἶτα ὁ διάκονος θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυρωειδῶς· ὡσαύτως καὶ τὴν ἁγίαν πρόθεσιν, εἶτα τὸν ἱερέα. Εἶθ' οὕτως κρεμάσας τὸν θυμιατὸν εἰς τὸν τόπον αὐτοῦ, ἔρχεται πρὸς τὸν ἱερέα κρατῶν καὶ τὸν ὡράριον καὶ λέγων αὐτῷ. Εὐλόγησον δέσποτα τὸν εὐαγγελίστον· Ὁ ἱερεὺς σφραγίζων αὐτὸν λέγει· Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγαπητοῦ Χριστοῦ σου, ἀμήν. Εἶθ' οὕτως· Εἰς πολλὰ ἔτη δέσποτα. Πληρωθέντος δὲ τοῦ ἀποστόλου, ἀνίσταται ὁ ἱερεὺς καὶ ἐκφωνεῖ τῷ ἀναγνώστῃ· Εἰρήνη σοι. Ὁ διάκονος. Σοφία. Ὁ ψάλτης, Ἀλληλούια. Τούτου δὲ ψαλλομένου ἵσταται ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ προσκυνεῖ γ', καὶ ἐπεύχεται, λέγων τὴν εὐχὴν ταύτην· Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε δέσποτα τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς πρὸς τὴν τῶν εὐαγγελικῶν κηρυγμάτων σου κατανόησιν. Εὔθες ἡμῖν καὶ τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατή-*

ὄντες πνευματικὴν πολιτείαν μετελθώμεν πάντα πρὸς εὐαρέστησίν σου πράττοντες. Ὅτι σου ἐστιν.

Δέσποτα Κύριε, ὁ Θεός μου, ἐξαπόστειλόν μοι τὴν χάριν τοῦ παναγίου σου Πνεύματος καὶ φωτησάτω τὰ αἰσθητήρια τῆς ψυχῆς μου ἐν τῷ μέλλειν με ἀναγινώσκειν τὸ τῆς βασιλείας αὐτοῦ πανάγιον εὐαγγέλιον. *Πληρουμένου δὲ τοῦ* Ἀλληλούια, *κλίνει ὁ ἱερεὺς τὸν ἑαυτοῦ αὐχένα τετραμερῶς πρὸς ἀνατολὰς καὶ λέγει μυστικῶς τὸ,* Κλῖνον Κύριε τὸ οὖς σου καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. *Ὁ δὲ διάκονος προσκυνήσας τρῖτον ἔμπροσθεν τῆς ἁγίας τραπέζης, αἴρει τὸ ἅγιον εὐαγγέλιον καὶ ἐξέρχεται διὰ τοῦ βορείου κλήτους, ἢ καὶ ἀπὸ τὸ μέσον, καὶ ἄνεισιν εἰς τὸν ἄμβωνα, καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ μέσον τοῦ ναοῦ· εἶτα ἐὰν οὐχ ὑπάρχῃ διάκονος ἕτερος, προσφωνεῖ ἐκ τῶν ἔσοθεν ὁ ἱερεὺς, λέγων·* Σοφία· ὀρθοί, ἀκούσωμεν· *Ὁ διάκονος·* Ἐκ τοῦ κατὰ τὸν δε ἁγίου εὐαγγελίου, τὸ ἀνάγνωσμα. *Ὁ ἱερεὺς στραφεὶς πρὸς δυσμᾶς, λέγει.* Πρόσχωμεν. *Ἀναγινωσκομένου δὲ τοῦ εὐαγγελίου ἵσταται ὁ ἱερεὺς τετραμερῶς ἐπιδυσμὰς, καὶ ἀναγινώσκει ὁ διάαονος τὸ ἅγιον εὐαγγέλιον εἰς ἐπήκοον πάντων. Μετὰ δὲ τὴν τούτου ἀναγινώσκιν ἐκφωνεῖ ὁ ἱερεὺς τῷ διακόνῳ·* Εἰρήνη σοι. *Εἶτα λαμβάνει ἐκ τῶν χειρῶν τοῦ διακόνου τὸ ἅγιον εὐαγγέλιον, ὃ καὶ ἀσπασάμενος τίθησιν ἐν ἐνὶ μέρει τῆς ἁγίας τραπέζης. Ὁ δε διάκονος ἐστὼς ἔξωθεν, ἄρχεται λέγειν οὕτως·* Εἴπωμεν πάντες. Ἐξ ὅλης τῆς ψυχῆς. Κύριε παντοκράτωρ ὁ Θεὸς τῶν πατέρων ἡμῶν. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων ἡμῶν. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν· Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ καὶ πατρὸς τῆς.... Ἔτι δεόμεθα ὑπὸ τῶν ἀδελφῶν ἡμῶν πάντων τῶν κοπιόντων καὶ διακονούντων· Ἔτι δεόμεθα ὑπὲρ τῶν κοπιώντων, τῶν ψαλλόντων, τῶν καλλιεργούντων,

χαροποφορούντων ἐν τῷ ἁγίῳ ναῷ τούτῳ, τοῦ περιεστῶτος λαοῦ. Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος· Ὁ διάκονος· Εὔξασθαι οἱ κατηχούμενοι τῷ Κυρίῳ. Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων. Κατηχήσῃ αὐτούς· Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον. Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ. Οἱ κατηχούμενοι τὰς κεφαλάς. Ὁ ἱερεύς· Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι. Ὁ διάκονος· Ὅσοι κατηχούμενοι προέλθεται· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προσέλθετε. μήτις τῶν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης· Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος· Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν. Καὶ ὅταν ἴδῃ τὸν ἱερέα ἀναγειρόμενον, ἐκφωνεῖ· Σοφία. Ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα. Καὶ αὖθις ὁ διάκονος τὰ τῆς συναπτῆς ἐπίλοιπα· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ σοῦ. Ὑπὲρ τῶν εὐσεβεστάτω. Ὑπὲρ τοῦ συμπολεμῆσαι. Ὑπὲρ τῆς ἁγίας μονῆς. Ὑπὲρ εὐκρασίας ἀέρων. Ὑπὲρ πλεόντων. Ὑπὲρ τοῦ ῥυσθῆναι. Ἀντιλαβέ. Τῆς παναγίας. Καὶ λέγει οὕτως ἀκολούθως, μέχρις ἂν ὁ ἱερεὺς ἀνακύψει ἀπὸ τῆς εὐχῆς, καὶ εὐθὺς λέγει· Σοφία. Ὁ ἱερεύς· Ὅπως ὑπὸ τοῦ κράτους σοῦ πάντοτε.

Τοῦ δὲ χερουβικοῦ ἀδομένου, εἰσελθὼν ἔνδον τοῦ ἁγίου θυσιαστηρίου ὁ διάκονος διὰ τοῦ βορείου μέρους, ἀπέρχεται ἐν τῇ προθέσει, καὶ λαβὼν ὕδωρ νίπτει τὰς χεῖρας αὐτοῦ, λέγων οὕτως· Νίψομαι ἐν ἀθόοις τὰς χεῖράς μου ἕως τέλους. Εἶθ' οὕτω λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα, καὶ ἀπελθὼν πρὸς τὸν ἱερέα, καὶ αἰτήσας, καὶ λαβὼν τὴν συνήθη εὐχὴν, θυμιᾷ σταυρωειδῶς τὴν ἁγίαν τράπεξαν, λέγων καθ' ἑαυτοῦ τὸ χερουβικὸν, καὶ τὸ, Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, ἕως τὸ, ἄρατε πύλας. Εἶτα ἀπέρχονται ὁμοῦ, μεθ' ὅσης τῆς εὐψυχίας εἰς τὴν ἁγίαν πρόθεσιν· κἀκεῖ θυμιᾷ τὰ ἅγια ὁ διάκονος καὶ εὐξάμενοι ἄμφω ὑπὲρ τε

ἑαυτῶν καὶ ἁπάντων, λέγει ὁ διάκονος τῷ ἱερεῖ· Ἔπαρον δέσποτα τὰς χεῖράς σου εἰς τὰ ἅγια, καὶ εὐλόγησον τὸν Θεόν. Καὶ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, καὶ ἄλλως, καὶ λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα· Ἔπαρον δέσποτα. Ὁ ἱερεύς· Ἐπάρατε τὰς χεῖρας ὑμῶν. Καὶ ἄρας τὸν ἀέρα, τίθησιν ἐπάνω τοῦ λαιβ ὤμου τοῦ διακόνου. Εἶτα λαβὼν τὸν δίσκον συνεφαπτομένου αὐτοῦ καὶ τοῦ διακόνου τίθησιν ἐν τῇ τοῦτου κεφαλῇ, κρατῶν καὶ τὸν θυμιατὸν ἐν τῇ δεξιᾷ αὐτοῦ χειρί. Αὐτὸς δὲ αἴρει τὸ ἅγιον ποτήριον καὶ ἕπεται τῷ διακόνῳ. Καὶ οὕτως εἰσοδεύουσι τὴν μεγάλην εἴσοδον, προπορευομένου δηλαδὴ τοῦ διακόνου, καὶ προς τὸν λαὸν ἐκβοῶντος· Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς. Εἰς δὲ τὸν βασιλέα λέγει. Μνησθείη Κύριος ὁ Θεὸς τοῦ κράτους τῆς βασιλείας σας ἐν τῇ βασιλείᾳ. Ὡσαύτως καὶ τοῦ ἱερέως συνεπομένου αὐτῷ καὶ τὰ αὐτὰ λέγοντος. Καὶ ὅταν φθάσωσι τὰ ἅγια θύρη, εἰσελθὼν ὁ διάκονος, τίθησι τὸν ἅγιον δίσκον ἐν τῇ ἁγίᾳ τραπέζῃ. Ὁ δε ἱερεύς, ἵσταται μικρὸν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, λέγων οὕτως· Ἄραστε πύλας οἱ ἄρχοντες ἵως τέλους. Καί στραφεὶς ὁ διάκονος, θυμιᾷ τὸν ἱερεα σταυροειδῶς, λέγων· Εὐλογημένος ὁ ἐρχόμενος. Εἶτα· Μνήσθητι δέσποτα ὑπὲρ ἐμου. Καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς. Καὶ εἰσερχόμενος λέγει· Ὁ εὐσχήμων Ἰωσὴφ, ἕως τὸ, κηδεύσας ἀπέθετο· Εἶτα καὶ αὐτὸς τὸ ποτήριον ἐν τῇ ἁγίᾳ τραπέζῃ λέγει· Τότε ἀνοισουσιν ἐπὶ τὸ θυσιαστήριον αὐτοῦ. Εἶθ' οὕτως καλύπτει τὰ ἅγια ὁ ἱερεὺς μετὰ τοῦ ἀέρος, τῶν ἄλλων καλυμμάτων ἀρθέντων. Μετὰ δὲ τὸ καλύψαι αὐτὸν ταῦτα, θυμιᾷ τὰ ἅγια λέγων· Εὐλογημένος ὁ ἐρχόμενος. Καὶ πάλιν· Θεὸς Κύριος καὶ ἐπέφανεν. Εἶτα· Εὐλογημενη ἡ δόξα Κυρίου ἐκ τοῦ ἁγίου οἴκου. Εἶθ' οὕτω κρεμᾷ τὸν θυμιατὸν εἰς τὸν συνήθει τόπον αὐτοῦ. Εἶτα προσκυνήσας τε καὶ εὐξάμενος, καὶ χαλάσας τὸ φαιλώνιον αὐτοῦ καὶ κλίνας τὴν κεφαλὴν, βλέπων ὡς πρὸς τὴν ἁγίαν τράπεζαν, λέγει πρὸς τὸν διάκονον. Εὔξαι ὑπὲρ ἐμοῦ δέσποτα. Ὁ δὲ κεκλικότα καὶ αὐτὸς τὸν αὐχένα ἔχων,

καὶ βλέπων πρὸς αὐτὸν, λέγει· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ· καὶ ἡ τοῦ Ὑψίστου δύναμις ἐπεσκιάσαι σε, καὶ ἀντιλάβοιτο ἡμῖν καὶ ὑμῖν· Καὶ ὁ διάκονος· Μνήσθητι καὶ αὐτὸς ἐμοῦ δέσποτα ἅγιε· Ὁ ἱερεὺς· Μνησθείη ἡμῶν καὶ ὑμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ· Ὁ διάκονος· Ἀμήν. Καὶ εὐλογεῖ αὐτὸν ὁ ἱερεὺς· Εἰθ' οὕτως το, Εἰς πολλὰ ἔτη δέσποτα ἐπειπὼν, αὖθις ἐξέρχεται ἀπὸ τοῦ νότου μέρους, καὶ ἵσταται εἰς τὸν συνήθη χῶρον αὐτοῦ, καὶ λέγει· Πληρώσωμεν τὴν δέησιν. Ὑπὲρ τῶν προτεθέντων. Ὑπὲρ τοῦ ἁγίου οἴκου. Ὑπὲρ τοῦ ῥυσθῆναι. Ἀντιλαβοῦ. Τὴν ἡμέραν πᾶσαν. Ἄγγελον εἰρήνης. Συγγνώμην καὶ ἄφεσιν. Τὰ καλὰ καὶ συμφέροντα. Τὸν ὑπόλοιπον χρόνον. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν. Τῆς παναγίας. Ὁ ἱερεὺς· Διὰ τῶν οἰκτιρμῶν. Καὶ αυθις· Εἰρήνη πᾶσι. Ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους. Καὶ εὐξάμενος ὁ ἱερεὺς ἄνωθεν τῶν ποτηροκαλυμάτων, ὁμοίως καὶ ὁ διάκονος τὸ τούτον ὡράριον ἔνθα εστὶ τετυπωμενος σταυρὸς. Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην, ἐνταῦθα γὰρ γίνεται ὁ ἀσπασμὸς, λέγει ὁ διάκονος· Τὰς θύρας, τας θύρας. Καὶ λέγεται τὸ ἅγιον σύμβολον. Εἶτα ἐκφωνεῖ· Στῶμεν καλῶς. Τούτου δὲ λεγομένου ὁ ἱερεὺς τρὶς ταῖς χερσὶ τὸν ἀέρα ἀνυψῶν μικρὸν, λέγει πραεῖα τῇ φώνῃ· Ἅγιος ὁ Θεὸς, ἅγιος. Εἶτα ἐκφωνεῖ· Ἡ χάρις τοῦ Κυρίου. Ταύτης δὲ λεγομένης, αἴρει τὸν ἀέρα δι' ὅλου, καὶ δηπλόσας τίθησιν ἐν ἑνὶ μέρει τῆς ἁγίας τραπέζης, καὶ λέγει· Ἄνω σχῶμεν τὰς καρδίας. Εὐχαριστήσωμεν· Ὁ δὲ διάκονος εἰσέρχεται ἔνδον τοῦ θυσιαστηρίου, καὶ κρατῶν ῥιπίδιον, νεύει αὐτὸ συνεχῶς πρὸς τὴν ἁγίαν τράπεζαν· προσέχων νηφον μή ποτε ἡ μυῖα ἢ ἄλλό τι προσπελάση τοῖς θείοις δώροις. Ὅταν δὲ εἴπη ὁ ἱερεὺς· Τὸν ἐπινίκιον ὕμνον, αἴρει ὁ διάκονος τὸν ἀστερίσκον, καὶ τρὶς αὐτὸν εἰς τὸν δίσκον κρούσας, εἶτα ἀσπασάμενος, τίθησιν ἐν ἑνὶ μέρει τῆς ἁγίας τραπέζης. Ὁ ἱερεὺς ἐκφωνεῖ· Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς. Ὁ διάκονος λαβὼν τὸ ὡράριον ἵστα-

ται ἀπαιρων τοῦτο ἔμπροσθεν τῶν ἁγίων δώρων, λέγων καὶ ἐν τῷ τέλῃ τῆς ἐκφωνήσεως τὸ, Ἀμήν. Ὁμοίως ἀπαίρει πάλιν τὸ ὡράριον· Ὁ ἱερεύς· Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ. Καὶ πάλιν ὁ διάκονος τὸ, Ἀμήν. Ὁ ἱερεύς· Τὰ σὰ ἐκ τῶν σῶν, καὶ ἄρχεται τῆς εὐχῆς.

Ὅταν δὲ μέλλῃ σφραγῖσαι τὰ ἅγια δῶρα, ἀνιστάμενος εὔχεται ἐκ τρίτου λέγων· Κύριε ὁ τὸ πανάγιον αὐτοῦ Πνεῦμα. Ὁ δὲ διάκονος ἵσταται ἐκ τοῦ ἀνατολικοῦ μέρους τῆς ἁγίας τραπέζης ἐνώπιον αὐτοῦ μετὰ φόβου, καὶ κλίνας τὸν αὐχένα ἐκτείνει τὴν χεῖρα μετὰ τοῦ ὡραρίου ἐπάνω τῆς ἁγίας τραπέζης· καὶ ἀτενῶς προσέχων ἐκεῖσε, λέγει μυστικῶς ἐν ἑκάστῃ εὐχῇ· Τοῦ Κυρίου δεηθῶμεν, ἐν δὲ τῷ τέλει· Ἀμήν. Εἶτα ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ ἱερεὺς σφραγίξων τὰ ἅγια δῶρα λέγει· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος· Ἀμήν. Εἶτα· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ εὐλογῶν ὁμοίως τὸ ἅγιον ποτήριον, λέγει· Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος, Ἀμήν. Εἶτα· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς εὐλογῶν ἐπάνω τῶν δύο, τοῦ τε δίσκου καὶ τοῦ ποτηρίου, λέγει· Μεταβαλὼν τῷ Πνεύματι σου τῷ ἁγίῳ, καὶ λέγει ὁ διάκονος· Ἀμὴν ἐκ γ'—ϛ. Εἰς δὲ τὴν λειτουργίαν τοῦ μεγάλου Βασιλείου οὕτως· Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Ὁ διάκονος, Ἀμήν. Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, αὐτὸ τὸ τίμιον αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ διάκονος, Ἀμήν· Ὅτε δὲ ἐπάνω εὐλογῶν λέγει· Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Ὁ διάκονος ἐκ τρίτου πάλιν τὸ, Ἀμήν. Εἶθ' οὕτω τὸ. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κυριος. Εἶτ' ἀσπάζεται τὴν ἁγίαν τράπεζαν, λέγων τῷ ἱερεῖ· Μνήσθητι καὶ ἐμοῦ δέσποτα. Ὁ δὲ λέγει· Μνησθείη σου Κυρίος ὁ Θεος ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Εἶτ' ἐπεύχεται. Ταύτης δὲ τελεσθείσης, ἐκφωνεῖ· Ἐξαιρέτως τῆς παναγίας. Εἶτα εὔχεται πάλιν ὁ ἱερεὺς πλὴν ἡσύχως· Εἶτα κεκοιμημένους ὅσους ἂν βούλοιτο. Καὶ πρὸ τοῦ εἰπεῖν τὸν ἱερέα τὴν ἐκφώνησιν· Ἐν πρώτοις μνήσθητι Κύριε τοῦ ἀρχιεπισκόπου, ἐκφωνεῖ ὁ διάκονος· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχομεν, καὶ πάντων καὶ πασῶν. Ὁ ἱερεύς· Ἐν πρώτοις μνήσθητι Κύριε. Καὶ αὖθις ὁ διάκονος ἀναφέρει τὰ ὀνόματα τῶν πατριαρχῶν. Τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ τοῦ Ἀλεξανδρείας, τοῦ Ἀντιοχείας, τοῦ Ἱεροσολύμων, καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα Κυρίῳ τῷ Θεῷ ἡμῶν ὁ δεῖνα τοῦ θεοσεβεστάτου ἱερέως, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντοίας ῥατικοῦ τάγματος. Ὑπὲρ σωτηρίας, κράτους, νίκης καὶ διαμονῆς τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν. Ὑπὲρ εἰρήνης καὶ εὐσταθείας τοῦ σύμπαντος κόσμου, καὶ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν. Ὑπὲρ ἀπολυτρόσεως τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, εὐοδόσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ, σωτηρίας καὶ βοηθείας τοῦ περιεστῶτος λαοῦ καὶ πάντων. Τοῦ δὲ ἱερέως πληρώσαντος, ἐκφωνεῖ· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν· Καὶ ἔσται τὰ ἐλέη. Καὶ λαβὼν ὁ διάκονος συνήθη καιρὸν μετ' εὐλογίας ἐξέρχεται λέγων· Πάντων τῶν ἁγίων· Ὑπὲρ τῶν προσκομισθέντων. Ὅπως ὁ φιλάνθρωπος ὁ Θεὸς ἡμῶν. Ὑπὲρ τοῦ ῥυσθῆναι. Ἀντιλαβοῦ. Τὴν ἡμέραν πᾶσαν τελείαν. Ἄγγελον εἰρήνης. Συγνώμης. Τὰ καλὰ. Τὸν ὑπόλοιπον. Χριστιανὰ τὰ τέλη· Τὴν ἑνότητα. Ὁ ἱερεύς· Καὶ καταξίωσον. Ὁ λαός· Πάτερ ἡμῶν. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν. Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλάς. Καὶ συγκλίνει αὐτὸς μέχρι τῆς ἐκφωνήσεως. Ὁ ἱερεύς· Χάριτι καὶ. Ὁ δὲ διάκονος στὰς ὀρθιος, εὔχεται καὶ προσέχει ἔνδον, ἐνίδοι καὶ-

ρὸν ἀπὸ τοῦ ἱερέως. Ἀφ' οὗ δὲ προσεύξηται ὁ ἱερεὺς οὕτως· Εἰς τὴν μεταλῆψιν τῶν ἁγιασμάτων σου πῶς εἰσελεύσομαι ὁ ἀνάξιος, καὶ ἀναστῆ καὶ ἄρξηται προσκυνεῖν, προσκυνεῖ καὶ αὐτὸς.

Ὅταν δ' ἅψεται τοῦ ἄρτου, τότε λέγει ὁ διάκονος μεγάλῃ τῇ φωνῇ· Πρόσχωμεν. Ὁ ἱερεὺς ὑψοῖ τὸν ἅγιον ἄρτον, καὶ λέγει· Τὰ ἅγια τοῖς ἁγίοις. Καὶ εἰσέρχεται εὐθὺς ἔνδον ὁ διάκονος καὶ λέγει τῷ ἱερεῖ· Μέλισον δέσποτα τὸν θεῖον ἄρτον. Ὁ δὲ μελίσας αὐτὸν εἰς τέσσαρα μέρη, τίθησιν εἰς τὸν δίσκον σταυροειδῶς, λέγων· Μελίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Ὁ δὲ διάκονος ἅπτεται τοῖς δύσι δακτύλοις τῆς δεξιᾶς χειρὸς αὐτοῦ τοῦ ἁγίου ποτηρίου κρατῶν ἐν αὐτοῖς, καὶ τὸ ὠράριον, καὶ λέγει πρὸς τὸν ἱερέα· Πλήρωσον δέσποτα τὸ ἅγιον ποτήριον, λέγων· Πλήρωμα διὰ Πνεύματος ἁγίου. Ὁ διάκονος· Ἀμήν. Εἶθ' οὕτω κρατῶν τὸ ξέον ὕδωρ, λέγει· Εὐλόγησον δέσποτα τὴν ἁγίαν ζέσιν. Ὁ ἱερεὺς εὐλογῶν αὐτὸ λέγει· Ζέσις Πνεύματος ἁγίου. Ὁ διάκονος· Ἀμήν. Καὶ λαβὼν ἐκ ταῖς χερσὶ τὸ ἅγιον ποτήριον βάλλει συγκιρνῶν αὐτὸ, καὶ λέγων καθ' ἑαυτὸν, ἢ καὶ οἱ δύο, τουτὶ. Θεορρύτῳ αἵματι ἕως τέλους. Εἶτα τίθησιν αὐτὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ. καὶ μεταλαμβάνει ὁ ἱερεὺς τῶν ἀχράντων μυστηρίων. Ὀφείλει οὖν ἐν ταῖς χερσὶ λαβὼν τὸν θεῖον ἄρτον, κύπτειν χαμαὶ καὶ λέγειν ἡσύχως· Τοῦ δείπνου σου· Εἶτα ἐσθίειν αὐτὸν μετὰ φόβου καὶ κατανύξεως καὶ συντριβῆς καρδίας· Εἶθ' οὕτω καὶ ἐκ τοῦ ποτηρίου λαμβάνει. Τούτου δὲ μεταλαμβάνοντος, ζόννυται ὁ διάκονος τὸ ὠράριον αὐτοῦ σταυρωτύπως δεξιῶς, καὶ ἵσταται ἐν κανύξει προσευχόμενος. Μετὰ δὲ τὸ δειπνῆσαι, λέγει ἡσύχως· Προσέλθε διάκονε. Ὁ δὲ ἐλθὼν. ἐπιδίδωσιν αὐτῷ ἐκ τοῦ ἁγίου σώματος μερίδα μίαν λέγων· Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ, ὁ δεῖνα, αὐτὸ τὸ ἅγιον σῶμα τοῦ Κύριου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν αὐτοῦ, καὶ εἰς

ζωὴν αἰώνιον. Ὁ δὲ διάκονος δεχόμενος τὴν μερίδα ταῖς χερσὶν, ἀσπάζεται γὰρ τοῦ ἱερέως χεῖρα καὶ παρειὰν λέγων· Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν. Ὁ ἱερεύς· Καὶ ἔστι καὶ ἔσται. Καὶ μεθιστάμενος ὁ διάκονος καὶ χαμαὶ κύπτων, λέγει καθ' ἑαυτόν· Τοῦ δείπνου σου, καὶ ἄλλα τῇ ἁγίᾳ μεταλήψει προσήκοντα, καὶ δαπανᾷ προσοχῆς τὴν μερίδα, καὶ ἀποψᾷ τὰς χεῖρας αὐτοῦ ἐν τῷ δείπνῳ. Εἶτα πρόσεισι τῷ ἁγίῳ ποτηρίῳ καὶ μεταδίδωσιν αὐτῷ ὁ ἱερεὺς καὶ τοῦ τιμίου αἵματος.

Τῆς δὲ ἁγίας μεταλήψεως τελεσθείσης, καλύπτονται τὰ ἅγια παρὰ τοῦ διακόνου ἀσφαλῶς, βληθείσης πρότερον τῆς λαβίδος ἐν αὐτῷ. Εἶθ οὕτω λύων τὸ ὡράριον, αἴρει ταῦτα ταῖς χερσὶ μετὰ τοῦ ἱεροῦ σκεύους, καὶ στραφεὶς δεικνύει ταῦτα τῷ λαῷ, ἐκφωνεῖ· Μετὰ φόβου Θεοῦ καὶ πίστεως, προσέλθετε, καὶ μεταλαμβάνει, ἆρας ταῦτα ἐκ τοῦ διακόνου, εἰ εἰσὶ τινές, λέγων· Εἰς ἄφεσιν ἁμαρτιῶν, ἱσταμένου πλησίον καὶ τοῦ διακόνου, τῇ δεξιᾷ χειρὶ (;) τὸ ὡράριον ὡς ἔθος λέγων ἡσύχως· Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Εἶθ' οὕτως αἴρει ἐξ αὐτοῦ τὸ ἅγιον ποτήριον ὁ διάκονος καὶ τίθησιν ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ λέγει τὴν εὐχὴν ὁ ἱερεὺς, καὶ μετὰ ταύτην θυμιᾷ τὰ ἅγια λέγων μυστικῶς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς. Εἶτ' ἀποκομίζει τὰ ἅγια εἰς τὴν ἁγίαν πρόθεσιν, ἐκφωνῶν πρότερον· Πάντοτε νῦν καὶ ἀεί. Καὶ λέγεται τὸ, Πληρωθήτω. Καὶ ἀποκομίζοντες ἅμφω ταῦτα, ἐξέρχει ὁ διάκονος καὶ λέγει· Ὀρθοὶ μεταλαβόντες. Ἀντιλαβοῦ. Τὴν ἡμέραν. Ὁ δὲ ἱερεὺς, διπλώσας τὸ ἡλητὸν, καὶ ἐπιθεὶς τῷ ἁγίῳ ἐκφωνεῖ ἔνδον. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς. Ὁ διάκονος· Ἐν εἰρήνῃ προελθωμεν. Ὁ ἱερεὺς ἐξέρχεται, καὶ αὖθις ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει τὴν ὀπισθάμβωνον εὐχὴν ὁ ἱερεὺς, ἱσταμένου καὶ τοῦ διακόνου ἄχρι πληρώσεως αὐτοῦ. Εἶτα εἰσέρχονται ἅμφω ἐν τῇ ἁγίᾳ προθέσει, καὶ λέγει ὁ διάκονος τῷ ἱερεῖ· Ποίησον δέσποτα τὴν εὐχὴν σοῦ πληρώματος, καὶ εἰπὼν ταύτην ἐξέρχεται, καὶ ἐπιδίδωσι τῷ λαῷ τὸ κατάκλαστον, λέγοντος τοῦ λαοῦ τὸ, Εἴη τὸ

ὄνομα Κυρίου, καὶ τὸ, Εὐλογήσω τὸν Κύριον. Καὶ τούτου πληρωθέντος, λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν, σφραγίζων τὸν λαὸν λέγει. Εὐλογία Κυρίου ἐφ' ὑμᾶς. Εἶτα σφραγίζων καὶ ἑαυτὸν σταυροτύπως λέγει· Διὰ πρεσβιῶν τῆς ὑπερευλογημένης Δεσποίνης, καὶ ἀπολύει. τοῦ διακόνου ἔνδον ὄντος, καὶ εἰς κομίζοντος εὐλαβῶς τὰ ἅγια, καὶ ἀσπαζομένου τὸ τέλει καὶ κλείοντος ταῦτα, καὶ συστέλλοντος εὐλαβῶς καὶ ἀσφαλῶς.

Χρὴ δὲ γινώσκειν ὅτι εἰσὶ κόλυβα ἁγίου, μετὰ τὸν στίχον, λέγεται τὸ τροπάριον τοῦ ἁγίου δίς. Δόξα. τὸ κοντάκιον ἅπαξ. καὶ νῦν· τὸ Θεοτοκίον. Τούτων δὲ ψαλλομένων θυμιᾷ ὁ διάκονος τὰ κόλυβα σταυροειδῶς, εἶτα εἰς τὰς ἁγίας εἰκόνας, καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ θεοτοκίου λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχήν· Ὁ πάντα τελοσφορήσας τῷ λόγῳ σου Κύριε. Εἶτα· Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν. Εἰ δὲ νεκρώσιμα, μετὰ τὸν στίχον καὶ τῶν ἐν φημ... βασιλέων λέγεται τὰ τροπάρια. καὶ θυμιᾷ καθὼς εἶπον. Εἶτα· Ἐλέησον ἡμᾶς ὁ. Ἔστι δεόμεθα. Ὑπὲρ τοῦ συγχωρηθῆναι. Ὅπως Κύριος ὁ Θεὸς. Τὰ ἐλέη τοῦ Θεοῦ. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς· Ὁ Θεὸς πνευμάτων καὶ πάσης σαρκὸς. Ὅτι σὺ εἶ ἡ ἀνάστασις. ἡ ζωὴ καὶ ἀνάπαυσις. Εἶτα εἰσέρχονται ἐν τῷ ἁγίῳ βήματι καὶ λαμβάνουσιν ὕδωρ καὶ ἀπονίπτουσι τὰς ἑαυτῶν χεῖρας, λέγοντες καθ' ἑαυτοὺς τὸ, Νῦν ἀπολύεις. Τὸ τριθάγιον, Παναγία τριὰς. Πατερ ἡμῶν. Ἀπολυτίκιον, Κοντάκιον τῆς ἡμέρας, ἢ τῆς λειτουργίας τύχον τοῦ μεγάλου Βασιλείου ἢ τοῦ Χρυσοστόμου, καὶ Θεοτόκιον, Τὸ Κύριε ἐλέησον ιβ. Καὶ ἀπαμφιέννυνται τὴν στολὴν, καὶ ποιεῖ ἡσύχως τὴν ἀπόλυσιν, συμπαρόντος τοῦ διακόνου. Καὶ ἐξερχόμενοι ποιοῦσι τρεῖς μετανοίας· καὶ ἀσπάζονται τὰς εἰκόνας. καὶ ἐσθίουσι καὶ τὸ κατάκλαστον.



ОГЛАВЛЕНІЕ ПЕРВАГО ВЫПУСКА.

Стран.

Введеніе. . . . . 3.

I. Уставъ облаченія и проскомидіи XIII в. по рукописямъ аѳонскихъ монастырей: Пантелеимонова и Евсигмена. 6.

II. Уставъ литургіи конца XIII или начала XIV в. по рукописи московской Синодальной библіотеки . . . 17.

III. Уставъ литургіи XIV в. составленный Филоѳеемъ патріархомъ Константинопольскимъ (1354—1376) по рукописямъ аѳонскихъ монастырей Ватопедскаго и Пантелеимонова, и славянскій переводъ по Служебнику митр. Кипріана. 30.

IV. Уставъ литургіи XV в. по рукописи монастыря св. Саввы, находящейся въ Іерусалимской патріаршей библіотекѣ . . . . . 80.

V. Уставъ литургіи XV в. по рукописи Ватиканской библіотеки. . . . . 94.



ОПЕЧАТКА.

Стр.	34	стр.	17	сверху
вм.	1668	чит.	1368	

МОСКОВСКАГО
АРХЕОЛОГИЧЕСКАГО
ОБЩЕСТВА